# VERSION

## *L'invention de l'écriture*

Ἤκουον τοίνυν περὶ Ναύκρατιν τῆς Αἰγύπτου γίγνεσθαι τῶν ἐκεῖ παλαιῶν τινα θεῶν, οὗ καὶ τὸ ὄρνεον ἱερὸν ἐστιν, ὃ δὴ καλοῦσιν Ἶβιν· αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεύθ. Τοῦτον δὴ πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρίσκειν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. Βασιλέως δ' αὖ τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ ἄνω τόπου ἣν οἱ Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι, καὶ τὸν θεὸν Ἄμμωνα, παρὰ τοῦτον ἐρχόμενος ὁ Θεὺθ τὰς τέχνας ἐπεδείκνυε, καὶ ἔλεγε δεῖν παρέχειν τοῖς ἄλλοις Αἰγυπτίοις· ὁ δὲ ἤρετο τὴν ὠφελίαν ἥντινα ἑκάστη εἶχεν … · ἐπειδὴ δὲ ἐπὶ τοῖς γράμμασιν ἦν, "τοῦτο δέ, ὦ βασιλεῦ, τὸ μάθημα," ἔφη ὁ Θεύθ, "σοφωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους οἷόν τ'ἐστι παρέχειν· μνήμης γὰρ καὶ σοφίας φάρμακον ηὑρίσκετο.

*L'usage du dictionnaire Grec-Français n'est pas autorisé.*